**Κυριακὴ 9 Φεβρουαρίου. Κυριακὴ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου. Μνήμη τοῦ ἁγίου Μάρτυρος Νικηφόρου. Ἦχος πλ.δ' - Ἑωθινὸν ια'.**

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

**Σημείωσις:** Σήμερον γίνεται τῆς Ἑορτῆς ἡ Ἀπόδοσις, καὶ ψάλλονται πάντα τὰ αὐτῆς, ἔν τε τῷ Ἑσπερινῷ, τῷ Ὄρθρῳ, καὶ τῇ Λειτουργίᾳ, πλὴν τῶν ἀναγνωσμάτων αὐτῆς, τῆς Λιτῆς καὶ τοῦ Πολυελέου, συνηνωμένα με αὐτὰ τῆς Κυριακῆς. Ἡ δὲ ἀκολουθία τοῦ μάρτυρος ψάλλεται τῇ Παρασκευῇ ἐν τῷ Ἀποδείπνῳ.

### Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα*...ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' ἀναστάσιμα στιχηρὰ· *Ἑσπερινὸν ὕμνον*...*Κύριε, Κύριε, μὴ ἀποῤῥίψῃς ἡμᾶς*...*Χαῖρε Σιὼν ἁγία*...δευτεροῦντες τὸ α'. Δόξα... τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ σήμερον*...Καὶ νῦν...τὸ δογματικὸν θεοτοκίον· *Πῶς μὴ σὲ μακαρίσωμεν Θεοτόκε!*...Τὸ· *Φῶς ἱλαρόν*...τὸ Προκείμενον τῆς ἡμέρας μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον ψάλλομεν τὸ ἀναστάσιμον στιχηρὸν· *Ἀνῆλθες ἐπὶ Σταυροῦ*... εἶτα τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Χαῖρε Θεοτόκε πάνσεμνε*...*Χαῖρε Θεομῆτορ ἄχραντε*...*Χαῖρε Θεοτόκε Μήτηρ Χριστοῦ*...Δόξα...Καὶ νῦν... τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος*...Τὸ· *Νῦν Ἀπολύεις*...Τὸ τρισάγιον καὶ τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαχνος*...Δόξα...Καὶ νῦν...τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*...Ἀπόλυσις.

### Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, κανόνα καὶ οἴκους τῆς Θεοτόκου οὐ λέγομεν. Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τῆς ἑορτῆς· *Ὁ μήτραν Παρθενικὴν*...

## Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τό· *Μακάριος ἀνήρ*…ὅλον. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*… ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'· *Ἑσπερινὸν ὕμνον*…*Κύριε, Κύριε, μὴ ἀποῤῥίψῃς ἡμᾶς*…*Χαῖρε Σιὼν ἁγία*…ἀνατολικὸν στιχηρόν ἕν· *Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος*…τοῦ Τριῳδίου ἰδιόμελα β'· *Μὴ προσευξώμεθα φαρισαϊκῶς ἀδελφοί*…*Φαρισαῖος κενοδοξίᾳ νικώμενος*… δευτεροῦντες τὸ α', καὶ τῆς ἑορτῆς προσόμοια γ'· *Λέγε Συμεὼν*…*Δέχου Συμεὼν*…*Δεῦτε καὶ ἡμεῖς*…Δόξα…τὸ ἰδιόμελον τοῦ Τριῳδίου· *Παντοκράτορ Κύριε*…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ σήμερον*…Εἴσοδος. Τό· *Φῶς ἱλαρόν*…τὸ προκείμενον τῆς ἡμέρας· *Ὁ Κύριος ἐβασίλευσεν*…μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ στιχηρὸν τοῦ ἁγίου τοῦ ναοῦ ἢ τοῦ ἁγίου τῆς μονῆς, είτα τα εἰς τοὺς αἴνους δ' ἰδιόμελα τοῦ Τριῳδίου· *Μὴ προσευξώμεθα φαρισαϊκῶς ἀδελφοί*…*Φαρισαῖος κενοδοξίᾳ νικώμενος*…*Τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου*…*Τοῦ Φαρισαίου τὴν μεγάλαυχον φωνὴν*…Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ἐρευνᾶτε τὰς γραφὰς*…Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρόν· *Ἀνῆλθες ἐπὶ Σταυροῦ*…εἶτα τὰ γ' στιχηρά, τὰ κατ' ἀλφάβητον· *Χριστὸν δοξολογήσωμεν*…*Ψαλμοῖς καὶ ὕμνοις*…*Ὦ Δεσπότα τῶν ἁπάντων*…Δόξα…τὸ ἰδιόμελον τοῦ Τριῳδίου· *Βεβαρημένων τῶν ὀφθαλμῶν μου*…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς ἑορτῆς· *Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος*…Τό· *Νῦν ἀπολύεις*…καὶ τὸ τρισάγιον. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον· *Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαγχνος*…τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*…Εὐθὺς τό· *Θεοτόκε Παρθένε*…Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς.

**Μὴ τελουμένης ἀγρυπνίας,** εἰς τὸν μέγαν ἑσπερινὸν (καταλιμπανομένου τοῦ μικροῦ) λέγομεν, τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαγχνος*…Δόξα…τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*…Καὶ νῦν· *τὸ αὐτὸ*…Τῇ δὲ Κυριακῇ πρωΐ, **ἐν τῷ μεσονυκτικῷ,** ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Τῷ τρισηλίῳ Βασιλεῖ καὶ πρύτανι*…Τὰ *Ἄξιόν ἐστιν*…

*Τρισάγιον*, τὸ ἀπολυτίκιον τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*...καὶ τὰ λοιπὰ τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ ὄρθρῳ

Εἰς τὸ· *Θεὸς Κύριος*...τὸ ἀναστάσιμον ἀπολυτίκιον *Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαχνος*...Δόξα...τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*...Καὶ νῦν· *τὸ αὐτὸ*...Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ'*, Δόξα, καὶ νῦν... Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός*. Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι*. Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἀνέστης ἐκ νεκρῶν*...Δόξα· *Ἀναστὰς ἐκ τοῦ τάφου ὡς ἀληθῶς*...Καὶ νῦν...τῆς ἑορτῆς· *Χορὸς Ἀγγελικὸς*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*. Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός*. Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι*. Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*...Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἄνθρωποι τὸ μνῆμά σου*...Δόξα· *Τὰ μύρα τῆς ταφῆς*... Καὶ νῦν...τῆς ἑορτῆς· *Ὁ ὢν σὺν τῷ Πατρὶ*...Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*. Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια*. Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Αἱ Μυροφόροι τοῦ Ζωοδότου*...Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ προκείμενον αὐτοῦ. Τὸ· *Πᾶσα πνοή*...Τὸ ια' ἑωθινὸν Εὐαγγέλιον. Εἶτα τὸ· *Ἀνάστασιν Χριστοῦ*...Ψάλλεται ὁ ν' ψαλμὸς καὶ γίνεται ὁ ἀσπασμὸς τοῦ Εὐαγγελίου. Δόξα· *Τῆς μετανοίας ἄνοιξόν μοι*... Καὶ νῦν· *Τῆς σωτηρίας εὔθυνόν μοι*...Εἰς τὸν στίχον τὸ ἰδιόμελον· *Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν*...

**Εἶτα οἱ κανόνες·** ὁ ἀναστάσιμος, μετὰ τῶν εἱρμῶν, εἰς δ' τροπάρια, τοῦ Τριῳδίου, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια και τῆς ἑορτῆς, μετὰ τῶν

είρμῶν, εἰς ς' τροπάρια. Λέγομεν δὲ καὶ τοὺς ιβ' στίχους τῆς στιχολογίας ἐν ἑκάστῃ ᾠδῇ, εἰς δὲ τὰ δύο τελευταῖα τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*...Καταβασίαι· *Χέρσον ἀβυσσοτόκον*...Ἀπὸ γ' ᾠδῆς, τὸ κοντάκιον τῆς ἑορτῆς· *Ὁ μήτραν Παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου*...καὶ ὁ οἶκος· *Τῇ Θεοτόκῳ προσδράμωμεν οἱ βουλόμενοι*...Εἶτα τὸ κάθισμα τοῦ Τριῳδίου· *Ταπείνωσις ὕψωσε*...Δόξα...Καὶ νῦν...τῆς ἑορτῆς· *Ἐν τῷ ὄρει τὸ Σινᾷ*... Ἀφ' ἕκτης τὸ κοντάκιον τοῦ Τριῳδίου· *Στεναγμοὺς προσοίσωμεν*...καὶ ὁ οἶκος· *Ἑαυτοὺς ἀδελφοὶ ἅπαντες ταπεινώσωμεν*...Συναξάριον πρῶτον τοῦ μηναίου εἶτα τοῦ Τριῳδίου. **Ἡ τιμιωτέρα στιχολογεῖται,** μεθ' ἣν ψάλλεται ἡ θ' ᾠδὴ τῶν κανόνων, ἄνευ στίχων ἐκ τῆς στιχολογίας· ἀλλ' ὁ μὲν εἱρμὸς τοῦ ἀναστασίμου ἄνευ στίχου, εἰς τὰ ἀναστάσιμα τροπάρια τὸ· *Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε*, εἰς τὰ τοῦ Τριῳδίου τὸ· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*...,εἰς δὲ τῆς ἑορτῆς τόν τε εἱρμὸν καὶ τὰ τροπάρια λέγομεν ὀκτὼ μεγαλυνάρια, συμπεριλαμβανομένων ἐν αὐτοῖς καὶ τῶν μεγαλυναρίων τοῦ· *Δόξα*...καὶ τοῦ· *Καὶ νῦν*...Εἶτα· *Θεοτόκε ἡ ἐλπίς*...καὶ ἡ καταβασία· *Ἐν νόμῳ σκιᾷ καὶ γράμματι*...

**Τὸ· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν***...ἐκ γ' καὶ τὸ· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*...εἶτα τὸ ἐξαποστειλάριον, τὸ ια' ἀναστάσιμον· *Μετὰ τὴν θείαν ἔγερσιν*...τοῦ Τριῳδίου· *Ὑψηγορίαν φύγωμεν*...καὶ τῆς ἑορτῆς· *Ἐν πνεύματι τῷ ἱερῷ*...Εἰς τοῦ αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ δ'· *Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης*...*Κύριε, εἰ καὶ ὡς νεκρὸν ἐν μνημείῳ*...*Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου*...*Ὁ Ἄγγελός σου Κύριε*...τῆς ἑορτῆς προσόμοια γ'· *Νόμον τὸν ἐν γράμματι*...*Φῶς εἰς ἀποκάλυψιν*... *Κόλπων τοῦ Γεννήτορος*...καὶ ἰδιόμελον ἓν· *Ὁ ἐν χερσὶ πρεσβυτικαῖς*... Δόξα...τὸ ιδιόμελον τοῦ Τριῳδίου· *Ταῖς ἐξ ἔργων καυχήσεσι*...Καὶ νῦν· *Ὑπερευλογημένη*...Δοξολογία μεγάλη...καὶ τὸ ἀναστάσιμον τροπάριον μόνον· *Ἀναστὰς ἐκ τοῦ μνήματος*...Ἐκτενής, ἀπόλυσις καὶ τὸ ια' ἑωθινὸν ἰδιόμελον. Ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν δὲ ἐν ταῖς ὥραις τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαχνος*...Δόξα...τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*...Καὶ νῦν· τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῆς ἑορτῆς· *Ὁ μήτραν Παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου*...

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς δ' τροπάρια, τοῦ Τριῳδίου ἡ γ' ᾠδὴ τοῦ κανόνος εἰς δ' τροπάρια καὶ τῆς ἑορτῆς ἡ ϛ' ᾠδὴ μετὰ τοῦ εἱρμοῦ εἰς δ' τροπάρια. Εἰσοδικὸν τό· *Δεῦτε προσκυνήσωμεν*...*Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν*...Ἀπολυτίκια μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον· *Ἐξ ὕψους κατῆλθες ὁ Εὔσπλαχνος*...τῆς ἑορτῆς· *Χαῖρε Κεχαριτωμένη*...τοῦ ἁγίου τοῦ ναοῦ...ἡ ὑπακοὴ τοῦ ἤχου· *Αἱ Μυροφόροι τοῦ Ζωοδότου*...Δόξα...τὸ κοντάκιον τοῦ Τριῳδίου· *Φαρισαίου φύγωμεν ὑψηγορίαν*...Καὶ νῦν...τὸ κοντάκιον τῆς ἑορτῆς· *Ὁ μήτραν Παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου*...Τρισάγιον. Προκείμενον καὶ ἀλληλουϊάριον τοῦ ἤχου. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, ἤτοι: <u>Ἀπόστολος</u>· *Παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ*...(Πρὸς Τιμόθεον. Κεφάλαιον γ' 10-15), ὃ ζήτει τῇ λγ' Κυριακῇ τῶν ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου. <u>Εὐαγγέλιον</u>· *Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν*...(Κατὰ Λουκᾶν. Κεφάλαιον ιη' 10-14), ὃ ζήτει τῇ Κυριακὴ τῆς ιϛ' ἑβδομάδος τῶν κατὰ Λουκᾶν Εὐαγγελίων. Εἰς τό· *Ἐξαιρέτως*...τό· *Θεοτόκε ἡ ἐλπίς*...καὶ ἡ καταβασία· *Ἐν νόμῳ σκιᾷ καὶ γράμματι*...Κοινωνικόν· *Αἰνεῖτε τὸν Κύριον*...καί· *Ποτήριον σωτηρίου λήψομαι*...*Εἴδομεν τὸ φῶς*...*Πληρωθήτω*...*Εἴη τὸ ὄνομα Κυρίου*... ἐκ γ'. Δόξα...Καὶ νῦν...οἱ δύο ψαλμοί· *Εὐλογήσω τὸν Κύριον*...*Ὑψώσω σὲ ὁ Θεός μου*...καὶ ἡ ἀπόλυσις.